ἡ λογιστική, περὶ τὸ ἄρτιον καὶ περὶ τὸ περιττόν, ἀλλ' ἡ μὲν ἀριθμητικὴ περὶ τὸ εἶδος αὐτῶν, ἡ δὲ λογιστικὴ περὶ τὴν ὕλην.

p. 451 c. *τῷ μὴ μόνον καθ' αὑτὰ ἀλλὰ καὶ πρὸς ἄλληλα πῶς ἔχει πλήθους ἐπισκοπεῖν.*

15 ὁ γὰρ πολλαπλασιασμὸς ἢ πρὸς ἑαυτὸν γίνεται ἢ πρὸς ἄλλα· πρὸς ἑαυτὸν μὲν ὅταν πολλαπλασιάσω τὸν ἄρτιον ἐπὶ ἄρτιον ἢ περιττὸν ἐπὶ περιττόν, πρὸς ἄλλα δέ, ὅταν περιττὸν ἐπὶ ἄρτιον ἢ ἄρτιον ἐπὶ περιττόν.

p. 451 c. *καὶ εἰ περὶ ἀστρονομίας.*

16 τὴν μὲν ἀριθμητικὴν παρέλαβεν διὰ τὸ ἀκριβές, τὴν δὲ ἀστρονομίαν διὰ τὸ τίμιον.

p. 451 c. *καὶ ἡλίου καὶ σελήνης.*

17 τούτων ἐμνημόνευσεν, ὅτι τε φωστῆρες εἰσὶ καὶ ὅτι διὰ τῆς τούτων γνώσεως καὶ τοὺς ἄλλους γινώσκομεν, καὶ ὅτι αἱ ἐκλείψεις αὐτῶν δυσχερεῖς εἰσὶ πρὸς γνῶσιν, καὶ ὅτι τῇ τούτων τροπῇ ἀλλοιοῦται αἰσθητῶς πάντα τὰ τῇδε.

p. 451 d. *τῶν περὶ τί ἐστιν.*

18 εἰπὲ φησὶν καὶ σύ, ὦ Γοργία, τί ἐστι τοῦτο τῶν ὄντων περὶ οὗ εἰσὶν οἱ λόγοι οὗτοι, οἷς ἡ ῥητορικὴ χρῆσθαι ἐπαγγέλλεται.

## V.

## *Πρᾶξις σὺν θεῷ ε'.*

p. 451 d. *τὰ μέγιστα τῶν ἀνθρωπείων πραγμάτων, ὦ Σώκρατες.*

1 παιδαγωγηθεὶς ὁ Γοργίας ὑπὸ τῶν Σωκρατικῶν παραδειγμάτων ἐγγίζει πρὸς τὴν ἀλήθειαν· ὅμως καὶ αὐτὸς τὸ χαῦνον τοῦ Πώλου μιμεῖται, καὶ ὥσπερ ἐκεῖνος ἐνεκωμίασε τὴν ῥητορικήν, καὶ οὐκ ἀποδέδωκε τίς ἐστιν, οὕτως καὶ οὗτος οὐ λέγει περὶ ποίους λόγους καταγίνεται ἡ ῥητορικὴ ἢ περὶ ποίων πραγμάτων ποιεῖται τοὺς λόγους, ἀλλ' ἐγκω-

---

3 τῷ μὴ μόνον καθ' αὑτὰ ἀλλὰ **M** ὅτι καὶ πρὸς αὑτὰ codd. Plat. ἐπισκοπεῖν **M** ἐπισκοπεῖ codd. Plat. 9 καὶ εἰ περὶ ἀστρονομίας **M** καὶ εἴ τις τὴν ἀστρονομίαν codd. Plat.